# Oeuvres
de
# Georges Scholarios.

## Traductions et commentaires.

### III.

## Résumé de la „Prima Secundae" de la Somme théologique de saint Thomas d'Aquin.*

*ἘΚΛΟΓΗ ΤΟΥ ΠΡΩΤΟΥ ΤΩΝ ἨΘΙΚΩΝ ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΘΩΜΑ ΔΕ ἈΚΙΝΟ, ΤΟΥ ἈΡΙΘΜΟΥ ΚΑΙ ΤΗΣ ΤΑΞΕΩΣ ΤΩΝ ΖΗΤΗΜΑΤΩΝ ΠΑΝΤΩΝ ΠΕΦΥΛΑΓΜΕΝΩΝ.*** Vatic. 433 f. 81

### Prologue.

Ἐπεί, κατὰ τὸν Δαμασκηνόν, ὁ ἄνθρωπος κατ' εἰκόνα Θεοῦ λέγεται γεγενῆσθαι, καθὸ τό τε νοερὸν καὶ λογισμῶν ἐλεύθερον καὶ αὐτεξούσιον διὰ τῆς εἰκόνος δηλοῦται, μετὰ τὸ προδιαλαβεῖν ἡμᾶς περὶ τοῦ παραδείγματος, τουτέστι τοῦ Θεοῦ καὶ τῶν ἐκ τῆς θείας δυνάμεως κατὰ τὴν αὐτοῦ θέλησιν προελθόντων, λείπεται θεωρῆσαι περὶ τῆς εἰκόνος αὐτοῦ, δηλαδὴ τοῦ ἀνθρώπου, καθὸ καὶ αὐτὸς ἀρχὴ τῶν ἰδίων ἔργων ἐστίν, ὡς ἂν λογισμὸν ἔχων ἐλεύθερον καὶ τῶν ἰδίων πράξεων ἐξουσίαν· ὅπου πρώτη ἡ περὶ τοῦ ἐσχάτου τέλους τῆς ἀνθρωπίνης ζωῆς ἡμῖν θεωρία προσυπαντᾷ, ἐφεξῆς δὲ τὰ δι' ὧν ὁ ἄνθρωπος ἐπὶ τὸ τέλος τοῦτο δύναται καταντῆσαι, ἢ τούτου

---

* A = Vaticanus 433, f. 81r-179v, copie autographe de Scholarios. A la marge supérieure du f. 81r, les mots: † *Ἰησοῦ Χριστέ, ἐλέησόν με τὸν ἁμαρτωλὸν Γεννάδιον.*

** *Σημ. Εἴθε, ὦ βέλτιστε Θωμᾶ, μὴ ἐγένου ἐν Ἑσπέρᾳ, ἵνα καὶ εἶχες ἀνάγκην τῶν ἐκτροπῶν τῆς ἐκκλησίας ἐκείνης ὑπερδικεῖν, τῶν τε ἄλλων καὶ ἣν ἐπὶ τῇ τοῦ Πνεύματος ἐκπορεύσει καὶ τῇ διαφορᾷ τῆς θείας οὐσίας καὶ ἐνεργείας πεπόνθει· ἢ γὰρ ἂν καὶ ἐν τοῖς θεολογικοῖς σου ἀδιάπτωτος ἦσθε, ὡς καὶ ἐν τοῖς ἠθικοῖς τούτοις εἶ.*

---

19 *πεπόνθει* sic A 20 *ἦσθε* sic A



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πάλιν ἀποχωρῆσαι· ἐκ γὰρ τοῦ τέλους, τῶν περὶ τὸ τέλος τεταγμένων, τοὺς λόγους προσήκει λαμβάνειν· καὶ ἐπεὶ τὸ τῆς ἀνθρωπίνης ζωῆς τέλος ἡ μακαριότης ὑπόκειται εἶναι, πρῶτον δεῖ θεωρῆσαι περὶ τοῦ ἐσχάτου τέλους κοινῇ· ἐφεξῆς δέ, περὶ τῆς μακαριότητος.

## De la fin dernière.

### I. — Περὶ τοῦ ἀνθρωπίνου τέλους.*

Περὶ τὸ πρῶτον τοίνυν ὀκτὼ ζητοῦνται· πρῶτον, εἰ τοῦ ἀνθρώπου ἐστὶ τὸ ποιεῖν ἕνεκα τέλους· δεύτερον, εἰ λογικῆς φύσεως τοῦτ' ἔστιν ἴδιον· τρίτον, εἰ αἱ τοῦ ἀνθρώπου πράξεις ἐκ τοῦ τέλους τὸ εἶδος δέχονται· τέταρτον, εἰ ἔστι τι τέλος τῆς ἀνθρωπίνης ζωῆς· πέμπτον, εἰ ἑνὸς ἀνθρώπου δυνατὸν εἶναι πλείω ἔσχατα τέλη· ἕκτον, εἰ πάντα ὁ ἄνθρωπος πρὸς τὸ ἔσχατον τάττει τέλος· ἕβδομον, εἰ παντὸς ἀνθρώπου τὸ αὐτό ἐστιν ἔσχατον τέλος· ὄγδοον, εἰ ἐν ἐκείνῳ τῷ ἐσχάτῳ τέλει καὶ τὰ ἄλλα κτίσματα κοινωνεῖ τῷ ἀνθρώπῳ.

1. Πρὸς τὸ πρῶτον. Πάντα τὰ ἔν τινι ὄντα γένει ἐκ τῆς ἀρχῆς τοῦ γένους ἐκείνου παράγονται· ἀλλὰ τὸ τέλος ἐν τῷ ἀνθρώπῳ ἀρχή ἐστι τῶν πρακτῶν, ὥς φησιν ὁ Φιλόσοφος ἐν τῷ δευτέρῳ τῶν φυσικῶν· προσῆκον ἄρα τῷ ἀνθρώπῳ πάντα ἕνεκα τέλους ποιεῖν.

Ἔτι, αἱ κυρίως ἀνθρώπιναι ἐνέργειαι, αἱ παρὰ κεκυρωμένης θελήσεως προϊοῦσαι καὶ λόγου, οἷς ὁ ἄνθρωπος διαφέρει τῶν ἄλλων ζῴων ᾗ ἄνθρωπος, ἕνεκα τέλους εἰσίν· ἔχουσι γὰρ αὗται αἰτίαν τὴν δύναμιν ἀφ' ἧς
f. 81ᵛ προΐασι κατὰ τὸν λόγον τοῦ ἰδίου ἀντικειμένου· | τὸ δὲ τέλος καὶ τὸ ἀγαθὸν τῆς θελήσεώς ἐστιν ἀντικείμενον.

2. Πρὸς τὸ δεύτερον. Ὁ Φιλόσοφος ἀποδείκνυσιν ἐν δευτέρῳ τῶν φυσικῶν μὴ τὸν νοῦν μόνον, ἀλλὰ καὶ τὴν φύσιν ἕνεκα τέλους ποιεῖν.

Ἔτι, καὶ τὰ ἄλογα κτίσματα ποιεῖ μὴ εἰδότα τὸ τέλος, ὥσπερ καὶ ὁ ἄνθρωπος, ὅταν μὴ δι' ἑαυτοῦ ἀλλ' ἑτέρου ἐπιτάττοντος ἤ τινος ὠθοῦντος κινῆται ἢ ποιῇ τι.

3. Πρὸς τὸ τρίτον. Τὸ τέλος οὐκ ἔστι παντάπασιν ἐξωτερικὸν καὶ τῆς ἐνεργείας ἀλλότριον· οὕτω γὰρ παραβάλλεται πρὸς τὴν ἐνέργειαν ὡς ἀρχὴ ἢ ὅρος ἐφ' ὅν, καὶ τοῦτο δὲ τοῦ ὁρισμοῦ ἐστι τῆς ἐνεργείας, τὸ εἶναι ἀφ' ἑτέρου ὅσον πρὸς τὸ ἐνεργεῖν, καὶ τὸ εἶναι πρός τι ὅσον πρὸς τὸ πάθος.

4. Πρὸς τὸ τέταρτον. Ὁ Φιλόσοφος, ἐν δευτέρῳ τῶν μετὰ τὰ φυσικά, φησὶν ὅτι οἱ τὸ ἄπειρον εἰσάγοντες λανθάνουσιν ἀναιροῦντες τὴν τοῦ ἀγαθοῦ φύσιν· τὸ δὲ ἀγαθὸν λόγον ἔχει τέλους· ἐναντίον ἄρα ἐστὶ τῷ λόγῳ τοῦ τέλους τὸ ἐπ' ἄπειρον προϊέναι· ἀνάγκη ἄρα τιθέναι τι ἓν ἔσχατον τέλος.

* Les chiffres romains des titres indiquent les questions, les chiffres arabes, les articles.

Ε.Υ. Δήμος Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

5. Πρὸς τὸ πέμπτον. Εἰ οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν πρὸς ἀλλήλους μὴ τεταγμένοις, ἀδύνατον καὶ ἑνὸς ἀνθρώπου πλείω ἔσχατα εἶναι τέλη μὴ τεταγμένα πρὸς ἄλληλα.

6. Πρὸς τὸ ἕκτον. Αὐγουστῖνος φησὶν ὅτι τοῦ ἡμετέρου ἀγαθοῦ τοῦτ᾿ ἔστι τέλος δι᾿ ὃ φιλοῦνται τὰ ἄλλα, αὐτὸ δὲ δι᾿ ἑαυτό. Ἤδη γὰρ καὶ αἱ παιγνιώδεις ἐνέργειαι ἕνεκα τοῦ ἐσχάτου πως εἰσίν, ὅτι ἕνεκα ἀγαθοῦ τινος τοῦ ἀνθρώπου ἤγουν ἀναπαύσεως ἢ τέρψεως· οὗ δὴ ἀνθρώπου τέλος τὸ ἔσχατον τέλος ἐστίν.

7. Πρὸς τὸ ἕβδομον. Ὅσον μὲν πρὸς τὸν τοῦ ἐσχάτου τέλους λόγον, πάντες ἄνθρωποι κοινωνοῦσιν· ἅπαντες γὰρ ἐφίενται τὸ ἑαυτῶν ἀτελὲς ἀναπληρωθῆναι, ὅπερ ἐστὶν ὁ τοῦ ἐσχάτου τέλους λόγος. Ὅσον δὲ πρὸς τὸ ἐν ᾧ ὁ λόγος οὗτος εὑρίσκεται, οὐ πάντες, ἀλλ᾿ οἱ μὲν πλούτου ἐφίενται, οἱ δὲ ἡδονῆς, οἱ δὲ τιμῆς ὥσπερ τινὸς τελείου ἀγαθοῦ· καὶ ὥσπερ ἐν τοῖς γευστοῖς ἐκεῖνο τὸ ἡδὺ βέλτιον ἡδὺ εἶναι ἀνάγκη, ᾧ μάλιστα ἥδεται ὁ γεῦσιν ἔχων ἀρίστην, οὕτω | καὶ ἐκεῖνο τὸ ἀγαθὸν τελειότατον εἶναι f. 82 ἀνάγκη, οὗτινος ὡς ἐσχάτου τέλους ἐπιθυμεῖ ὁ ἄριστα διακειμένην ἔχων ἐπιθυμίαν.

8. Πρὸς τὸ ὄγδοον. Ὡς ἐν τῷ δευτέρῳ τῶν φυσικῶν καὶ πέμπτῳ τῶν μετὰ τὰ φυσικὰ τὸ τέλος διχῶς λέγεται, τουτέστιν οὗ καὶ ᾧ, ἤγουν αὐτό τε τὸ πρᾶγμα ἐν ᾧ ὁ τοῦ ἐσχάτου τέλους λόγος εὑρίσκεται καὶ ἡ τεῦξις ἢ ἡ χρῆσις αὐτοῦ, ὥσπερ τοῦ βαρέος σώματος τέλος ὁ κάτω τόπος ὡς πρᾶγμα, καὶ τὸ ἐν αὐτῷ εἶναι ὡς χρῆσις, καὶ τοῦ φειδωλοῦ ὁμοίως τά τε χρήματα καὶ ἡ κτῆσις αὐτῶν· τῷ γοῦν προτέρῳ τρόπῳ πάντων ἕν ἐστι τέλος, ὁ Θεός· τῷ δευτέρῳ δὲ οὐ πάντων· ὁ γὰρ ἄνθρωπος καὶ τὰ ἄλλα λογικὰ κτίσματα τυγχάνουσι τοῦ ἐσχάτου τέλους τῷ γινώσκειν καὶ ἀγαπᾶν τὸν Θεόν, ὃ τῶν ἄλλων κτισμάτων οὐκ ἔστιν.

## II. — Δεύτερον, περὶ τῆς μακαριότητος.

Μετὰ ταῦτα θεωρητέον ἂν εἴη περὶ τῆς μακαριότητος· πρῶτον, ἐν τίσι συνίσταται· δεύτερον, τί ἐστι· τρίτον, πῶς δυνατὸν ταύτης τυχεῖν.

Περὶ τὸ πρῶτον ὀκτώ· πρῶτον, πότερον ἐν χρήμασιν ἡ μακαριότης συνίσταται· δεύτερον, εἰ ἐν τιμαῖς· τρίτον, εἰ ἐν φήμῃ ἢ δόξῃ· τέταρτον, εἰ ἐν ἀρχαῖς· πέμπτον, εἰ ἔν τινι τοῦ σώματος ἀγαθῷ· ἕκτον, εἰ ἔν τινι κτιστῷ ἀγαθῷ, ἐν τίνι συνίσταται.

1. Πρῶτον τοίνυν, ὅτι οὐκ ἐν χρήμασιν· εἰ γὰρ μηδὲ ἐν τῷ φυσικῷ πλούτῳ, οἷον σιτίων, ποτῶν, ἱματίων, οἰκημάτων, ὀχημάτων καὶ τῶν τοιούτων· ζητεῖται γὰρ καὶ οὗτος πρὸς τὸ ὑπανέχειν τὴν τοῦ ἀνθρώπου φύσιν· πολλῷ

33 Au lieu de 8 articles annoncés, Scholarios ne parle ici que de 6; il saute les articles 6 et 7, mais il les résume ci-dessous 34 *ἐν τίνι συνίσταται* en marge A



Ε.Γ.Δ.τ.Ι.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἔλαττον ἐν τῷ τεχνητῷ πλούτῳ ἤγουν τοῖς χρήμασιν, ἅπερ οὐκ ἀμέσως καὶ καθαυτὴν βοηθεῖ τῇ φύσει· ἀλλὰ διὰ τὸ ῥᾴδιον τῶν συναλλαγμάτων ἐξεῦρεν ἡ τέχνη ταῦτα, ἵνα ὥσπερ τι μέτρον ᾖ τῶν δυναμένων πωλεῖσθαι, εἰ καὶ ἐν τῷ Ἐκκλησιαστῇ λέγεται· „Πάντα ὑπακούει τοῖς χρήμασιν", ὅσον πρὸς τὸ πλῆθος τῶν ἀνοήτων, ὧν τῇ περὶ τῶν ἀγαθῶν κρίσει προσέχειν οὐ δεῖ, ἀλλὰ τῇ τῶν σοφῶν, ὥσπερ καὶ τὴν περὶ τῶν χυμῶν κρίσιν παρὰ τῶν τὴν γεῦσιν καλῶς διακειμένην ἐχόντων.

2. Δεύτερον, οὐδ' ἐν τιμαῖς· ἡ γὰρ μακαριότης ἐστὶν ἐν τῷ ἀγαθῷ,
f. 82v ἡ δὲ τιμὴ οὐκ ἔστιν ἐν τῷ τιμωμένῳ | ἀλλὰ μᾶλλον ἐν τῷ τιμῶντι, ὡς ἐν τῷ πρώτῳ τῶν ἠθικῶν. Προσλαμβάνεται δὲ ὑπὸ τῶν σπουδαίων ἡ ἐξ ἀνθρώπων τιμὴ ὡς ἀρετῆς ἆθλον, ὡς ἂν οὐκ ἐχόντων τι μεῖζον διδόναι· τὸ δὲ ἀληθὲς ἆθλον τῆς ἀρετῆς αὐτὴ ἡ μακαριότης ἐστίν, ὑπὲρ ἧς πράττουσιν οἱ σπουδαῖοι, ὑπὲρ δὲ τῆς τιμῆς οἱ κενόδοξοι.

3. Τρίτον, οὐδ' ἐν δόξῃ, εἴ γε τὴν φήμην ἢ τὴν δόξαν συμβαίνει ποτὲ καὶ ψευδῆ εἶναι· ἡ δὲ μακαριότης ἀληθές ἐστιν ἀγαθὸν τοῦ ἀνθρώπου. Ἡ μέντοι παρὰ τῷ Θεῷ δόξα τέλος ἐστὶν ἀληθές, περὶ ἧς εἴρηται τῷ Ἀποστόλῳ ἐν ὀγδόῃ τῆς πρὸς Ῥωμαίους, ὅτι· „Οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν".

4. Τέταρτον, οὐδ' ἐν ἐξουσίαις· ἡ γὰρ ἐξουσία ἀτελές τί ἐστιν· δύναται γὰρ ἀφαιρεῖσθαι καὶ καταβλάπτεσθαι καὶ ταῖς φροντίσι δάκνεσθαι· μόνη δὲ ἡ τοῦ Θεοῦ ἐξουσία τελεία ὡς καὶ ἐσχάτως ἀγαθή.

5. Πέμπτον, οὐδ' ἐν τοῖς τοῦ σώματος ἀγαθοῖς· ἐν γὰρ τούτοις ὑπὸ πολλῶν ζῴων πλεονεκτεῖται ὁ ἄνθρωπος, οἷον ὑπὸ μὲν τοῦ ἐλέφαντος τῇ μακροβιότητι, ὑπὸ δὲ τοῦ λέοντος τῇ ἰσχύϊ, ὑπὸ δὲ τῆς ἐλάφου τῷ δρόμῳ. Τὸ δὲ ἐν τῷ Ἐκκλησιαστῇ· „Οὐκ ἔστι κῖνσος ὑπὲρ τὸν κῖνσον τῆς ὑγείας τοῦ σώματος", εἴρηται ὡς τῶν τοῦ σώματος ἀγαθῶν τῶν ἔξωθεν προτιμωμένων, ἃ διὰ τοῦ κίνσου δηλοῦνται.

6. Ἕκτον, οὐδὲ ἐν ἡδονῇ· ἡδονὴ γάρ ἐστιν ἠρεμία ἐν τῷ ἐφετῷ ἀγαθῷ, ὥστε καὶ αὕτη διὰ τὸ ἀγαθόν, ὃ δίδωσιν αὐτῇ τὸ εἶδος καὶ τὸ ἐφετῇ εἶναι.

Ἔτι, αἱ ἔξοδοι τῶν ἡδονῶν λυπηραί, κατὰ τὸν Βοήτιον, καὶ τοῦτο δῆλον ἐπαγωγικῶς. Ἔτι, καὶ τὰ ἄλογα ἂν ἦσαν μακάρια, ἡδόμενα ὁπωσοῦν.

7. Ἕβδομον, οὐδ' ἔν τινι τῆς ψυχῆς ἀγαθῷ, εἴτε δύναμις εἴη τοῦτο, εἴθ' ἕξις, εἴτε ἐνέργεια· ταῦτα γὰρ μεθεκτά εἰσιν ἀγαθὰ καὶ μερικά. Ἀλλ' οὐδ' ἐν αὐτῇ ὅλῃ τῇ ψυχῇ· αὕτη γὰρ δυνάμει ἐστὶ πρὸς τὴν γνῶσίν
f. 83 τε καὶ τὴν ἀρετήν· τὸ δὲ δυνάμει ὂν λόγον ἔχειν ἐσχάτου | τέλους ἀδύνατον.

Καὶ ταῦτα μὲν ὅσον πρὸς τὸ τέλος, ὅπερ ἐστὶν αὐτὸ τὸ πρᾶγμα. Ὅσον δὲ πρὸς τὸ λοιπὸν τοῦ τέλους σημαινόμενον, ἡ τοῦ ἀνθρώπου κατὰ ψυχήν, τῷ ἐσχάτῳ τέλει προσήκει· διὰ γὰρ τοῦ νοῦ ὁ ἄνθρωπος τῆς

---

4 Eccle. 10, 19 17 Rom. 8, 18 25 Eccli. 30, 16

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μακαριότητος τυγχάνει. Ὡς μὲν οὖν τεῦξις, ἡ μακαριότης ἐν τῇ ψυχῇ ἐστιν· ὡς δὲ τὸ ἐν ᾧ ἡ μακαριότης συνίσταται καὶ ὃ μακαρίους ποιεῖ, ἔστι τι τῆς ψυχῆς ἔξωθεν.

8. Ὄγδοον, οὐδ' ἐν κτιστῷ τινι ὅλως ἀγαθῷ, διότι οὐδὲν τοιοῦτον δύναται ποιεῖν τὴν θέλησιν τοῦ ἀνθρώπου ἠρεμεῖν· μερικόν τε γάρ ἐστιν ἀγαθόν, καὶ ὑπολειπόμενον ἔξω τι ἑαυτοῦ ἐφετὸν ἄλλο καὶ μεθεκτόν· ἡ δὲ μακαριότης ἐστὶν ἐν τῷ τελείῳ ἀγαθῷ τῷ ποιοῦντι τὴν ἔφεσιν παντάπασιν ἠρεμεῖν. Μόνος ἄρα ὁ Θεὸς δύναται τὴν ἀνθρωπίνην πληροῦν θέλησιν, ὡς ἐν τοῖς Ψαλμοῖς λέγεται· „Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου". Ἐν μόνῳ ἄρα τῷ Θεῷ συνίσταται ἡ τοῦ ἀνθρώπου μακαριότης.

## III. — Περὶ τῆς μακαριότητος, τί ἐστιν.

Πρῶτον, πότερον ἡ μακαριότης ἄκτιστόν τι ἐστίν· δεύτερον, εἰ ἔστι κτιστόν, πότερον ἐνέργειά τις ἐστίν· τρίτον, πότερον τοῦ αἰσθητικοῦ μέρους ἐνέργεια, ἢ τοῦ νοεροῦ μόνου· τέταρτον, εἰ τοῦ νοεροῦ, πότερον τοῦ νοῦ, ἢ τῆς θελήσεως· πέμπτον, εἰ τοῦ νοῦ, πότερον τοῦ θεωρητικοῦ, ἢ τοῦ πρακτικοῦ· ἕκτον, εἰ τοῦ θεωρητικοῦ, πότερον ἐν τῇ θεωρίᾳ συνίσταται τῶν θεωρητικῶν ἐπιστημῶν· ἕβδομον, εἰ ἐν τῇ θεωρίᾳ τῶν χωριστῶν οὐσιῶν ἤτοι τῶν ἀγγέλων· ὄγδοον, εἰ ἐν μόνῃ τῇ τοῦ Θεοῦ θεωρίᾳ, ᾗ κατ' οὐσίαν ὁρᾶται.

1. Πρὸς τὸ πρῶτον. Τὸ ἔσχατον τοῦ ἀνθρώπου τέλος, ὡς τὸ ὅ, ἄκτιστόν ἐστιν, αὐτὸς δηλαδὴ ὁ Θεός· ὡς δὲ τὸ ᾧ, κτιστόν ἐστιν. Ἡ δὲ μακαριότης ἔσχατον λέγεται ἀγαθόν. Αὕτη τοίνυν, ὅσον μὲν πρὸς τὸ ἀντικείμενον ἢ τὴν αἰτίαν, ἄκτιστόν τί ἐστιν· ὅσον δὲ πρὸς τὴν τῆς μακαριότητος, οὐσίαν, οὕτως κτιστόν τί ἐστιν.

2. Πρὸς τὸ δεύτερον. Ἐνέργειά ἐστιν, ὡς ὁ Φιλόσοφος φησὶν ἐν πρώτῳ τῶν ἠθικῶν, ὅτι ἡ εὐδαιμονία ἐστὶν ἐνέργεια κατ' ἀρετὴν τελεία. Εἰ δὲ ζωὴ αἰώνιος λέγεται ἐν ἕκτῃ τῆς πρὸς Ῥωμαίους, ἀλλ' οὐχ ὡς αὐτὸ τὸ εἶναι | τοῦ ζῶντος· οὕτω γὰρ ἐν μόνῳ τῷ Θεῷ ἀντιστρέφει τὸ f. 83v
εἶναι καὶ ἡ ζωὴ καὶ ἡ μακαριότης· ἀλλ' ὡς ἡ τοῦ ζῶντος ἐνέργεια, καθ' ἣν ἡ τῆς ζωῆς ἀρχὴ εἰς ἐνέργειαν ἄγεται, καὶ οὕτω θεωρητικήν, ἢ πρακτικήν, ἢ ἀπολαυστικὴν ζωὴν ὀνομάζομεν· καὶ οὕτω ζωὴ αἰώνιος λέγεται τὸ ἔσχατον τέλος ὑπὸ τοῦ Κυρίου· „Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσι".

3. Πρὸς τὸ τρίτον. Τῆς αἰσθητικῆς ἐνεργείας κοινωνοῦσιν ἡμῖν καὶ τὰ ἄλογα, ἐν δὲ τῇ μακαριότητι οὐδαμῶς.

Ἔτι, οὐσιωδῶς μὲν οὐ προσήκει τῇ μακαριότητι ἡ αἰσθητικὴ ἐνέρ-

---

9 Ps. 102, 5  34 Ioh. 17, 4

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

γεια· διὰ γὰρ ταύτης ἀδύνατον τὸν ἄνθρωπον συναφθῆναι τῷ ἀκτίστῳ ἀγαθῷ, ὅ ἐστι τὸ ἔσχατον τέλος· προηγουμένως μέντοι γε καὶ ἑπομένως προσήκει· προηγουμένως μὲν κατὰ τὴν ἀτελῆ ἐν τῷδε τῷ βίῳ μακαριότητα, ἐφόσον ἡ τοῦ νοῦ ἐνέργεια ἀπαιτεῖ πρότερον τὴν τῆς αἰσθήσεως· ἑπομένως δὲ κατὰ τὴν ἐν οὐρανοῖς προσδοκωμένην τελείαν, ἐφόσον ἐκ τῆς μακαριότητος τῆς ψυχῆς γενήσεσθαί τινα ἀπόρροιαν εἰς τὸ σῶμα καὶ τὰς αἰσθήσεις αὐτοῦ πιστεύομεν, ὥστε κατὰ τὰς ἰδίας ἐνεργείας τελειωθῆναι.

4. Πρὸς τὸ τέταρτον. Ἐν τῷ δεκάτῳ ἑβδόμῳ τοῦ κατὰ Ἰωάννην· „Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσι", καὶ τὰ ἑξῆς· ἡ δὲ αἰώνιος ζωὴ εἴρηται ἔσχατον τέλος καὶ μακαριότης· ἐν τῇ τοῦ Θεοῦ ἄρα γνώσει συνίσταται· οὐκοῦν ἐν τῇ τοῦ νοῦ ἐνεργείᾳ, οὐ τῆς θελήσεως.

5. Πρὸς τὸ πέμπτον. Φησὶν Αὐγουστῖνος ἐν πρώτῳ περὶ Τριάδος, ὅτι ἡ θεωρία ἐν ἐπαγγελίαις ἡμῖν ἐστιν ὡς τέλος πασῶν τῶν ἐνεργειῶν καὶ ὡς αἰωνία τῆς εὐφροσύνης τελείωσις.

6. Πρὸς τὸ ἕκτον. Ἐν τῷ δεκάτῳ ἐνάτῳ Ἡσαΐου λέγεται· „Μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ".

7. Πρὸς τὸ ἕβδομον· Ἐν τῷ αὐτοῦ τοῦ Ἡσαΐου συνημμένως· „Ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος ἐν τῷ συνιεῖν καὶ γινώσκειν τὸν Κύριον". Ἔτι, ἡ τελεία τοῦ ἀνθρώπου μακαριότης ἐν ἐκείνῳ συνίσταται, ὅπερ ἐστὶ κατ' οὐσίαν ὄν τε ἀγαθὸν καὶ ἀληθές· ἡ γὰρ αὐτή ἐστι τῶν ὄντων διάθεσις ἔν τε τῷ εἶναι καὶ τῇ ἀληθείᾳ καὶ τῇ ἀγαθότητι, ὡς ἐν τῷ
f. 84 δευτέρῳ τῶν μετὰ | τὰ φυσικὰ λέγεται, ὅτι τὰ κατὰ μετοχὴν ὄντα καὶ κατὰ μετοχήν εἰσιν ἀληθῆ· ἴδιον γὰρ τοῦ νοῦ ἀντικείμενον τὸ ἀληθές. Ἀλλ' οἱ ἄγγελοι τοιοῦτοι οὐκ εἰσίν, εἰ μὴ ὁ Θεὸς μόνος. Ὁποιανδηποτοῦν δὲ μακαριότητα καὶ ἀτελῆ οὐδὲν κωλύει καὶ ἐν τῇ τῶν ἀγγέλων θεωρίᾳ καταλαμβάνεσθαι, ἔτι δὲ καὶ ὑψηλοτέραν τῆς τῶν θεωρητικῶν ἐπιστημῶν γνώσεως.

8. Πρὸς τὸ ὄγδοον. Ἐν τῷ τρίτῳ τῆς Ἰωάννου πρώτης· „Ὅταν φανῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα καὶ ὀψόμεθα αὐτὸν καθώς ἐστιν". Πρὸς δὴ κατανόησιν τούτου, δύο δεῖ θεωρεῖν· πρῶτον μέν, τὸ τὸν ἄνθρωπον μὴ εἶναι τελείως μακάριον, ἐφόσον λείπεταί τι ἐφετὸν αὐτῷ καὶ ζητητόν· δεύτερον, ὅτι παντὸς τελειότης κατὰ τὸν λόγον ἐστὶ τοῦ ἰδίου ἀντικειμένου· τοῦ δὲ νοῦ ἀντικείμενον τὸ τί ἦν εἶναι τοῦ πράγματος, ὡς ἐν τρίτῳ τῶν περὶ ψυχῆς, ὅπερ ἕως ἂν ὁ νοῦς οὐ δύναται γινώσκειν περὶ τῆς αἰτίας, καίτοι γινώσκει τὴν οὐσίαν τινὸς ἀποτελέσματος αὐτῆς, οὔπω ἔφθασεν εἰς τὴν γνῶσιν τῆς αἰτίας ἁπλῶς, ἀλλ' ἢ μόνον εἰς τὸ εἰδέναι εἰ ἔστιν αἰτία· διὸ καὶ φύσει ἐπιθυμεῖ λοιπὸν γνῶναι καὶ τί ἐστιν ἡ αἰτία, καὶ αὕτη ἡ ἐπιθυμία, θαύματος οὖσα, αἰτία ζητήσεως γίνεται, ὡς ἐν τῷ πρώτῳ

---

9 Ioh. 17, 4 15 Ier. (non Is.) 9, 23 17 Ier. 9, 24 28 I Ioh. 3, 2

Εργ.Δ τησ φ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τῶν μετὰ τὰ φυσικὰ λέγεται, καὶ οὐκ ἠρεμεῖ ἕως ἂν ἐπὶ τὸ γινώσκειν τὴν τῆς αἰτίας οὐσίαν ἀφίκηται. Εἰ τοίνυν ὁ ἀνθρώπινος νοῦς, οὐσίαν τινὸς ἀποτελέσματος γινώσκων κτιστοῦ, περὶ τοῦ Θεοῦ μόνον τὸ εἰ ἔστι γινώσκει, οὔπω ἡ τελειότης αὐτοῦ τῆς πρώτης αἰτίας ἁπλῶς ἐφικνεῖται, ἀλλ' ἔτι ὑπολείπεται ἐν αὐτῷ ἐπιθυμία φυσικὴ τοῦ τὴν αἰτίαν ζητεῖν· ὅθεν οὔπω τελείως ἐστὶ μακάριος. Πρὸς τὴν τελείαν τοίνυν μακαριότητα ζητεῖται τὸ τὸν νοῦν ἐφάπτεσθαι αὐτῆς τῆς οὐσίας τῆς πρώτης αἰτίας, καὶ οὕτω τὴν ἑαυτοῦ τελείωσιν ἀπολήψεται τῇ πρὸς τὸν Θεὸν ἑνότητι ὥσπερ πρὸς ἴδιον ἀντικείμενον, οὐ περιληπτικῶς μέντοι γινώσκων.

## IV. — Περὶ τῶν πρὸς τὴν μακαριότητα ζητουμένων. f. 84v

1. Πρῶτον, ὅτι πρὸς τὴν μακαριότητα ἀναγκαῖόν ἐστιν ἡ ἡδονή· καὶ φαμὲν ὅτι τετραχῶς λέγεταί τι πρός τι ζητεῖσθαι· ἕνα μὲν τρόπον, ὥς τι προηγούμενον ἢ προδιατιθέν, ὥσπερ ἡ μάθησις πρὸς τὴν ἐπιστήμην· ἄλλον, ὥσπερ τελειοῦν τι, ὥσπερ ἡ ψυχὴ πρὸς τὴν τοῦ σώματος ζωὴν ἀναγκαία ἐστίν· ἄλλον, ὥσπερ ἔξωθεν συνεργοῦν, ὥσπερ οἱ φίλοι πρὸς τὰς πράξεις ζητοῦνται· ἄλλον, ὥσπερ τι συμπαρόν, ὡς ἂν εἰ λέγοιμεν τὴν θέρμην ζητεῖσθαι πρὸς τὸ πῦρ· καὶ οὕτως ἡ ἡδονὴ ζητεῖται πρὸς τὴν μακαριότητα, ἐφόσον ἡδονὴ μὲν γίνεται ἐκ τοῦ τὴν ἔφεσιν ἐν τῷ ἐπιτευχθέντι ἀγαθῷ ἠρεμεῖν· μακαριότης δέ ἐστιν ἡ τοῦ ἐσχάτου ἀγαθοῦ τεῦξις.

2. Δεύτερον, ὅτι ἐν τῇ μακαριότητι ἀρχοειδέστερον ἡ θεωρία τῆς ἡδονῆς, ἐφόσον ἡ αἰτία κρείττων ἐστὶ τοῦ ἀποτελέσματος· ἡ δὲ θεωρία τῆς ἡδονῆς ἐστιν αἰτία.

Ἔτι, ἐκ τοῦ ἀγαθοῦ τῆς ἐνεργείας πρόεισιν ἡ τῆς θελήσεως ἠρεμία, ἀλλ' οὐ διὰ τὴν ἠρεμίαν ἡ θέλησις ζητεῖ τὸ ἀγαθόν, καὶ διὰ τοῦτο ἀρχοειδέστερον ἀγαθόν ἐστιν αὐτὴ ἡ ἐνέργεια, ἐν ᾗ ἡ θέλησις ἠρεμεῖ, τῆς ἐν αὐτῇ τῆς θελήσεως ἠρεμίας.

3. Τρίτον, ὅτι πρὸς τὴν μακαριότητα ζητεῖται κατάληψις, τοῦ Ἀποστόλου λέγοντος ἐν ἐννάτῳ τῆς πρὸς Κορινθίους πρώτης· „Οὕτω τρέχετε, ἵνα καταλάβητε“· καὶ αὖθις· „Τὸν δρόμον τετέλεκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος“.

Ἔτι, οὔτε παρὸν ζητεῖται τὸ ἀγαθόν, οὔτε ἀπὸν μέν, ἀδύνατον δὲ φαινόμενον ὥστε τυχεῖν αὐτοῦ, ἀλλὰ δυνατὸν μὲν δοκοῦν, ἀδύνατον δὲ εὐθὺς τυχεῖν καὶ ὑπεραναβεβηκὸς τῆς τοῦ τευξομένου δυνάμεως. Καὶ αὕτη ἐστὶν ἡ τοῦ ἐλπίζοντος πρὸς τὸ ἐλπιζόμενον ἕξις, ἡ μόνη ζήτησιν τοῦ τέλους ποιεῖ. Τούτοις τοίνυν τοῖς τρισὶν ἀνταποκρίνονταί τινα ἐν τῇ μακαριότητι· ἡ μὲν γὰρ τελεία γνῶσις τοῦ τέλους ἀνταποκρίνεται τῇ ἀτελεῖ τῇ διὰ πίστεως· ἡ δὲ παρουσία αὐτοῦ τῇ ἕξει τῆς ἐλπίδος· ἡ δὲ ἐν τῷ ἤδη

---

29 I Cor. 9, 24 30 II Tim. 4, 7

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

f. 85 παρόντι τέλει ἡδονὴ ἕπεται τῇ | ἀγάπῃ, καὶ διὰ τοῦτο ἀνάγκη πρὸς τὴν μακαριότητα τὰ τρία ταῦτα συντρέχειν, θεωρίαν, δηλαδὴ τοῦ νοητοῦ τέλους γνῶσιν τελείαν, κατάληψιν, ἣ παρουσίαν τοῦ τέλους σημαίνει, καὶ ἡδονήν, ἣ τὴν τοῦ ἀγαπῶντος ἐν τῷ ἀγαπωμένῳ ἠρεμίαν δηλοῖ. Κατάληψιν δὲ δεῖ νοεῖν ἐνταῦθα οὐ τὴν τοῦ καταληφθέντος περιοχὴν ἐν τῷ καταλαμβάνοντι· οὕτω γὰρ ἂν ἦν τὸ θεῖον πεπερασμένον, ἢ ὁ κτιστὸς νοῦς ἄπειρος· ἀλλὰ τὴν πρός τι πρᾶγμα ἤδη παρὸν καὶ ἐχόμενον τάσιν, ὥσπερ τις ἐφεπόμενός τινι λέγεται τοῦτον καταλαβεῖν, ὅταν αὐτὸν ἤδη κατέχῃ.

4. Τέταρτον, ὅτι ζητεῖται πρὸς τὴν μακαριότητα ἡ τῆς θελήσεως εὐθύτης. Ἐν γὰρ τῷ πέμπτῳ τοῦ κατὰ Ματθαῖον εἴρηται· „Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται“· καὶ ἐν τῷ ἐσχάτῳ τῆς πρὸς Ἑβραίους· „Εἰρήνην διώκετε μετὰ πάντων καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον“.

5. Πέμπτον, ὅτι οὐ ζητεῖται πρὸς αὐτὴν τὸ σῶμα. Ἐν γὰρ τεσσαρακαιδεκάτῳ τῆς Ἀποκαλύψεως λέγεται· „Μακάριοι οἱ ἀποθανόντες, οἳ ἐν Κυρίῳ ἀποθνήσκουσιν“. Ἰστέον γὰρ ὅτι πρὸς τὴν ἀτελῆ μακαριότητα τὴν ἐνταῦθα ζητεῖται τὸ σῶμα, διότι πρὸς τὴν τοῦ νοῦ ἐνέργειαν ζητεῖται φάντασμα καὶ ὄργανον σωματικόν· πρὸς δὲ τὴν τελείαν οὐχί, πρῶτον μέν, τοῦ Ἀποστόλου λέγοντος ἐν πέμπτῳ τῆς πρὸς Κορινθίους δευτέρας· „Ἐφόσον ἐσμὲν ἐν τῷ σώματι, ἐκδημοῦμεν ἀπὸ τοῦ Θεοῦ“· καὶ παρακατιὼν δείκνυσι τὴν τῆς ἐκδημίας αἰτίαν· „Διὰ πίστεως γάρ, φησί, περιπατοῦμεν καὶ οὐ διὰ εἴδους“· ἐξ οὗ δῆλον ὡς, ἐφόσον τις διὰ πίστεως περιπατεῖ καὶ οὐ διὰ εἴδους, τοῦ θεωρεῖν τὴν θείαν οὐσίαν στερούμενος, οὔπω πάρεστι τῷ Θεῷ· αἱ δὲ ψυχαὶ τῶν ἁγίων χωρισθεῖσαι τοῦ σώματος πάρεισι τῷ Θεῷ· ὅθεν πρόσκειται· „Τολμῶμεν δὲ καὶ εὐδοκοῦμεν ἐκδημῆσαι τοῦ
f. 85v σώματος καὶ ἐνδημῆσαι πρὸς τὸν Θεόν“· ὅθεν φανερὸν | ὡς αἱ τῶν ἁγίων ψυχαὶ χωρισθεῖσαι τοῦ σώματος διὰ εἴδους περιπατοῦσιν, τὴν τοῦ Θεοῦ οὐσίαν ὁρῶσαι, ἐν ᾧ ἡ ἀληθὴς μακαριότης ἐστίν· δεύτερον δὲ καὶ τῇδε· ὁ γὰρ νοῦς πρὸς τὴν ἑαυτοῦ ἐνέργειαν διὰ τὰ φαντάσματα μόνον δεῖται τοῦ σώματος, ἐν οἷς τὴν νοερὰν ἀλήθειαν κατοπτεύει· τὴν δὲ θείαν οὐσίαν ἀδύνατον διὰ τῶν φαντασμάτων ὁρᾶν· ὅθεν, ἐπεὶ ἐν τῇ θεωρίᾳ τῆς θείας οὐσίας ἡ τελεία τοῦ ἀνθρώπου μακαριότης συνίσταται, οὐκ ἤρτηται τοῦ σώματος ἡ τελεία τούτου μακαριότης· ὅθεν, καὶ τοῦ σώματος χωρίς, τὴν ψυχὴν δυνατὸν εἶναι μακαρίαν.

Ἀλλ' ἰστέον ὅτι διχῶς τι πρὸς τὴν τελείωσιν τινὸς ἀνήκει· ἕνα μὲν τρόπον πρὸς τὸ συνιστᾶν τὴν οὐσίαν τοῦ πράγματος, ὥσπερ ἡ ψυχὴ ζητεῖται πρὸς τὴν τελείωσιν τοῦ ἀνθρώπου· ἕτερον δὲ τρόπον πρὸς τὸ εὖ εἶναι αὐτοῦ, ὥσπερ τὸ κάλλος καὶ ἡ τῆς διανοίας ταχύτης πρὸς τὴν

---

10 Matth. 5, 8 12 Heb. 12, 14 15 Ap. 14, 13 20 II Cor. 5, 6 25 II Cor. 5, 8

Ε.Υ.Α. της Κ.Ι.Π ΙΩΑΝΝΙΝΑ 2006

τελειότητα τοῦ ἀνθρώπου ἀνήκει. Εἰ καὶ μὴ τῷ προτέρῳ τοίνυν τρόπῳ, ἀλλὰ τῷ δευτέρῳ συμβάλλεται τὸ σῶμα πρὸς τὴν τοῦ ἀνθρώπου μακαριότητα. Ἐπεὶ γὰρ ἡ ἐνέργεια τῆς φύσεως τοῦ πράγματος ἤρτηται, ὅσον ἡ ψυχὴ κατὰ τὴν ἑαυτῆς φύσιν ἔσται τελειοτέρα, τοσοῦτο καὶ τελεώτερον ἕξει τὴν ἰδίαν ἐνέργειαν, ἐν ᾗ ἡ μακαριότης συνίσταται· ὅθεν Αὐγουστῖνος φησὶν ὅτι τὰ πνεύματα τῶν ἐν τῇ ἀγάπῃ τεθνεώτων οὐχ οὕτω τὴν ἀμετάβλητον οὐσίαν δύνανται ὁρᾶν ὡς οἱ ἅγιοι ἄγγελοι, εἴτε τινὶ ἀποκρύφῳ αἰτίᾳ, εἴτε καὶ ὅτι ἔνεστί τις αὐταῖς ἔφεσις φυσικὴ τοῦ τὸ σῶμα διοικεῖν· τοῦτο δὲ δεῖ νοεῖν αὖθις οὐ κατά τινα ποσότητος ἀνισότητα, ἐπεὶ καὶ νῦν τινὲς τῶν μακαρίων ψυχῶν εἰς τὰς ὑψηλοτέρας τάξεις ἀνελήφθησαν, τῶν ὑποβεβηκότων καθαρώτερον ὁρῶσαι τὸν Θεόν, ἀλλὰ κατὰ ἀνισότητα ἀναλογίας, ὅτι καὶ οἱ ἔσχατοι τῶν ἀγγέλων πᾶσαν τὴν τῆς μακαριότητος τελειότητα, ἣν ἕξουσιν, ἔχουσιν, οὐ μὴν οὕτως καὶ αἱ χωρισθεῖσαι ψυχαὶ τῶν ἁγίων. Εἰ δέ τις λέγοι, ὅτι ἡ τῆς χάριτος τελείωσις | προϋποτίθησι f. 86 τὴν τῆς φύσεως τελειότητα, ἡ δὲ ψυχὴ τοῦ σώματος ἄνευ οὐκ ἔχει φύσεως τελειότητα, ὅτι καὶ πᾶν μέρος ἀτελές ἐστι, τοῦ ὅλου χωρισθέν· ἔτι, ὅτι τὴν μακαριότητα, τέλειαν ἐνέργειαν οὖσαν, τῷ τελείῳ εἶναι δεῖ ἕπεσθαι· ἀλλ' ἡ ψυχὴ οὐκ ἔχει τέλειον εἶναι χωρισθεῖσα τοῦ σώματος, φύσει μέρος οὖσα τῆς ἀνθρωπίνης φύσεως· οὐκοῦν οὐδὲ τελείαν ἐνέργειαν· πρὸς μὲν τὸ πρῶτον λέγειν χρή, ὅτι ἡ μακαριότης τελείωσίς ἐστι τῆς ψυχῆς κατὰ τὸν νοῦν, καθὸ ἡ ψυχὴ ὑπερβαίνει τὰ τοῦ σώματος ὄργανα, ἀλλ' οὐ καθὸ τοῦ φυσικοῦ σώματος εἶδος ἐστίν, καὶ διὰ τοῦτο ἐκείνη ἡ τελειότης τῆς φύσεως μένει καθ' ἣν αὐτῇ ἡ μακαριότης ὀφείλεται, ἀλλ' οὐκ ἐκείνη τῆς φύσεως ἡ τελειότης καθ' ἣν ἐστιν εἶδος τοῦ σώματος· πρὸς δὲ τὸ δεύτερον, τὸ μὲν εἶναι τοῦ ὅλου οὐκ ἔστι τινὸς τῶν αὐτοῦ μερῶν· ὅθεν, ἀναιρεθέντος τοῦ ὅλου, ἢ παντάπασι παύεται ὂν τὸ μέρος, ὥσπερ τὰ μέρη τοῦ ζῴου, ἀναιρεθέντος αὐτοῦ· ἢ μένοντα ἔχουσιν ἄλλο εἶναι ἐνεργείᾳ, ὥσπερ τὰ τῆς γραμμῆς μέρη ἄλλο παρὰ τὴν ὅλην γραμμήν· ἀλλ' ἐν τῇ ἀνθρωπίνῃ ψυχῇ μένει τὸ εἶναι τοῦ συνθέτου καὶ μετὰ τὴν τοῦ σώματος ἀναίρεσιν· αἴτιον δέ ἐστιν, ὅτι τὸ αὐτὸ εἶναί ἐστι τοῦ τε εἴδους καὶ τῆς ὕλης, καὶ τοῦτ' ἔστι τὸ εἶναι τοῦ συνθέτου, ἡ δὲ ψυχὴ ὑφίσταται ἐν τῷ ἑαυτῆς εἶναι· ὅθεν λείπεται, μετὰ τὸν ἀπὸ τοῦ σώματος χωρισμόν, ἔχειν αὐτὴν τέλειον εἶναι, διὰ δὲ τοῦτο καὶ τελείαν δύναται ἔχειν ἐνέργειαν, εἰ καὶ μὴ τὴν τοῦ εἴδους φύσιν τελείαν ἔχοι.

6. Ἕκτον, ὅτι ἡ τελείωσις τοῦ σώματος ἀναγκαία πρὸς τὴν τελείαν τοῦ ἀνθρώπου μακαριότητα. Εἰ γὰρ καὶ μὴ συνίσταται ἡ μακαριότης ἐν τῷ σωματικῷ ἀγαθῷ, ἀλλὰ σωματικὸν ἀγαθὸν δύναται συντελεῖν τῷ κάλλει ἢ τῇ τελειώσει τῆς μακαριότητος. Λέγεται δὲ ἐν τῷ ἐσχάτῳ τοῦ

4 *τοσαῦτο* A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἡσαΐου· „Ὄψεσθε καὶ χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὰ ὀστᾶ ὑμῶν f. 86v ὥσπερ πόα βλαστήσουσιν“. Οὐκοῦν καὶ ἡ ἀγαθὴ τοῦ | σώματος διάθεσις μετὰ τῆς τοῦ Θεοῦ θεωρίας καὶ τῆς ἐν αὐτῇ ἡδονῆς ἐν ἐπαγγελίαις δέδοται τοῖς ἁγίοις ὡς ἀρετῆς ἆθλον.

7. Ἕβδομον, ὅτι οὐδὲν τῶν ἔξωθεν ἀγαθῶν πρὸς τὴν μακαριότητα ζητεῖται εἰ μὴ ὡς ὀργανικῶς ὑπηρετούμενον τῇ ἀτελεῖ μακαριότητι, πρὸς δὲ τὴν τελείαν οὐδόλως· καὶ ἐν τοῖς Ψαλμοῖς δῆλον· „Τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ, καὶ παρὰ σοῦ τί ἠθέλησα ἐπὶ τῆς γῆς“; καὶ ἐπάγει· „Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστιν“· τὸ δέ· „Ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ βασιλείᾳ μου“ καὶ τό· „Θησαυρίζετε ὑμῖν θησαυροὺς ἐν οὐρανοῖς“ μεταφορικῶς δεῖ νοεῖσθαι, ἵνα δι' ὧν ἴσμεν σωματικῶν διεγείρωμεν ἑαυτοὺς πρὸς τὸ τῶν πνευματικῶν, ἅπερ οὔπω ἴσμεν ἐπιθυμεῖν, διὰ μὲν τοῦ σιτίου καὶ ποτοῦ νοοῦντες τὴν ἡδονὴν τῆς μακαριότητος, διὰ δὲ τοῦ πλούτου τὸ αὐταρκὲς δι' οὗ ὁ Θεὸς ἀντὶ πάντων ἀρκέσει, διὰ δὲ τῆς βασιλείας τὸ ὕψος τοῦ ἀνθρώπου μέχρι τῆς πρὸς Θεὸν συναφῆς.

8. Ὄγδοον, ὅτι πρὸς τὴν μακαριότητα οὐ ζητοῦνται οἱ φίλοι· ἐν τῷ Θεῷ γὰρ ὅλον τὸ πλήρωμα τῆς ἑαυτοῦ τελειότητος ὁ ἄνθρωπος ἔχει. Ἀλλὰ πρὸς τὸ εὖ εἶναι τῆς μακαριότητος συνεργεῖ καὶ ἡ τῶν φίλων κοινωνία, ὅτι χαίρουσι τῇ ἑταιρείᾳ κοινῶς βλέποντες τὸν Θεὸν οἱ μακάριοι.

## V. — Περὶ τῆς πράξεως τῆς μακαριότητος.

1. Πρῶτον, ὅτι ὁ ἄνθρωπος δύναται τυχεῖν τῆς μακαριότητος. Ἐν γὰρ τοῖς Ψαλμοῖς εἴρηται· „Μακάριος ὃν ἂν παιδεύσῃς, Κύριε“.

Ἔτι, ἡ μὲν μακαριότης τελείου τινὸς ἀγαθοῦ ἐπιτυχίαν σημαίνει· ὁ δὲ ἄνθρωπος δεκτικός ἐστιν αὐτοῦ καὶ τῷ νῷ καὶ τῇ ἐφέσει· ἕτερον μέντοι τρόπον οἱ ἄγγελοι καὶ οἱ ἄνθρωποι· οἱ μὲν γὰρ ἄγγελοι τῆς μακαριότητος ἔτυχον αὐτίκα μετὰ τὴν ἀρχὴν τῆς αὐτῶν γνώσεως, οἱ δ' ἄνθρωποι διὰ χρόνου πρὸς αὐτὴν ἀφικνοῦνται.

2. Δεύτερον, ὅτι ἄλλος ἄλλου μακαριώτερος, ὡς ἐν τεσσαρακαιδεκάτῳ τοῦ κατὰ Ἰωάννην· „Ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου μοναὶ πολλαὶ εἰσίν“, οὐ κατὰ τὸ τέλος, ἀλλὰ κατὰ τὴν τεῦξιν τοῦ τέλους.

3. Τρίτον, ὅτι ἐν τῷδε τῷ βίῳ ἀδύνατον αὐτὴν κτήσασθαι· εἴρηται f. 87 γὰρ | ἐν τεσσαρακαιδεκάτῳ τοῦ Ἰώβ· „Ἄνθρωπος ἐκ γυναικὸς γεννηθεὶς βραχὺν ζήσας χρόνον πολλῶν ἐμπίπλαται ταλαιπωριῶν“· ἀλλ' ἡ μακαριότης ἀναιρετικὴ τῆς ταλαιπωρίας.

Ἔτι, ἐν τῇ παρούσῃ ζωῇ οὔτε ἀναιρεθῆναι πᾶν κακὸν δύναται ἐκ

1 Is. 66, 14 7 Ps. 72, 24 10 Luc. 21, 30 11 Matth. 25, 34 24 Ps. 93, 12
31 Ioh. 14, 2 34 Iob, 14, 1

ΙΩΑΝΝΙΝΑ 2006

τε τοῦ νοῦ καὶ τῆς φύσεως καὶ τοῦ σώματος, οὔτε τοῦ ἐφετοῦ ἀγαθοῦ ἐμπλησθῆναι· τὰ γὰρ τῆς παρούσης ζωῆς ἀγαθὰ καὶ αὐτὴ παρερχόμενά εἰσιν· καὶ τοῦτο μὲν ὅσον πρὸς τὸν τῆς μακαριότητος λόγον· ἐκ δὲ τοῦ ἐν ᾧ ἰδίως ἡ μακαριότης συνίσταται, καὶ σαφέστερον· ἡ γὰρ θεωρία τῆς θείας οὐσίας ἀδύνατος ἡμῖν ὧδε, ὡς δέδεικται.

4. Τέταρτον, ὅτι ὁ μακάριος οὐ δύναται ἀποβάλλειν τὴν μακαριότητα· ἐν γὰρ τῷ κατὰ Ματθαῖον λέγεται περὶ τῶν δικαίων, ὅτι „ἀπελεύσονται εἰς ζωὴν αἰώνιον“, ἥτις ἐστὶν ἡ μακαριότης· τὸ δὲ αἰώνιον οὐ παύεται, εἰ καὶ τὴν ἀτελῆ τὴν ἐνταῦθα μακαριότητα δυνατὸν ἀποβαλεῖν, τὴν μὲν θεωρητικὴν διὰ λήθης καὶ ἀσχολιῶν, τὴν δὲ πρακτικὴν διαστροφῇ θελήσεως. Ὠριγένης δὲ Πλατωνικῶν τινων ἑπόμενος δόξῃ, φησὶ μετὰ τὴν ἐσχάτην μακαριότητα δυνατὸν εἶναι ἄθλιον γενέσθαι τὸν ἄνθρωπον· τοῦτο δὲ ψεῦδος, πρῶτον ἀπὸ τοῦ κοινοῦ τῆς μακαριότητος λόγου· ζητεῖται γὰρ πρὸς αὐτὴν τὸ τὸν ἄνθρωπον βεβαίαν ἔχειν δόξαν μηδέποτε ἀποθήσεσθαι ὃ κέκτηται ἀγαθόν, ἤγουν ἀληθῆ δοξάζειν, καὶ ἡ μακαριότης ἀναπόβλητος· ἢ ψευδῆ, καὶ οὐδὲ τὴν ἀρχήν ἐστι μακάριος διὰ τὴν πονηρίαν τοῦ νοῦ· δεύτερον, ἐκ τοῦ εἰδικοῦ λόγου· ὅταν γάρ τις ἔχων ἀγαθόν, ἀπαλλαγῆναι βούλεται τούτου, ἢ αὐτάρκους μὴ ὄντος ζητεῖ τι διαρκέστερον, ἢ διὰ τὸ συμπεφυκέναι τι αὐτῷ ἐπαχθές, ὧν οὐδέτερον προσήκει τῇ θεωρίᾳ τῆς θείας οὐσίας. Ἐν γὰρ τοῖς Ψαλμοῖς λέγεται· „Χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου“· καὶ ἐν τῇ Σοφίᾳ· „Ἦλθόν μοι ὁμοίως πάντα τὰ ἀγαθὰ μετ' αὐτῆς“, τουτέστι τῆς σοφίας, ὥστε αὐτάρκης ἐστίν. Ἐν δὲ τῷ ὀγδόῳ τῆς Σοφίας περὶ τῆς θεωρίας αὐτῆς λέγεται· „Οὐκ ἔχει τινὰ πικρίαν ἡ μετ' αὐτῆς διατριβή, οὔτε τι | ἀηδὲς τὸ ταύτῃ f. 87v συνῆφθαι“, ὥστε οὐδ' ἐπαχθές τι συνεζευγμένον ἔχει. Οὐκοῦν ἑκὼν ὁ ἄνθρωπος οὐκ ἀποβάλλει τὴν μακαριότητα. Ἀλλ' οὐδὲ τοῦ Θεοῦ ἀφαιροῦντος· πῶς γὰρ ἔσται τοῦτο ἐκ τοῦ δικαίου κριτοῦ, εἰ μὴ διὰ ἁμαρτίαν; πῶς δ' ἂν ἁμάρτοι ὁ τὴν οὐσίαν ὁρῶν τοῦ Θεοῦ, οὐδέ τινος ἄλλου ποιοῦντος τοῦτο δυνατόν; Ἡ γὰρ τῷ Θεῷ συναφθεῖσα διάνοια τῶν ἄλλων ὑπεραίρεται πάντων. Ἀλλὰ καὶ διά τινας χρόνων μεταβολὰς ἀνάρμοστον τὸν ἄνθρωπον ἀπὸ τῆς μακαριότητος ἐπ' ἀθλιότητα μεταβαίνειν, ἢ τὸ ἀνάπαλιν· ταύτας γὰρ ἐν μόνοις δεῖ εἶναι τὰς κινήσεις χρόνῳ ὑποκειμένοις.

5. Πέμπτον, ὅτι ὁ ἄνθρωπος διὰ τῶν φυσικῶν οὐ δύναται τυχεῖν τῆς μακαριότητος, τοῦ Ἀποστόλου λέγοντος ἐν πρώτῳ τῆς πρὸς Κορινθίους δευτέρας· „Ἃ ὀφθαλμὸς οὐκ οἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν“. Φύσει δέ ἐστιν ὁ ἄνθρωπος ἀρχὴ τῶν ἄλλων διὰ νοῦ καὶ θελήσεως, ἃ ἡ μακαριότης

---

**7** Matth. 25, 46 **20** Ps. 16, 15 **21** Sap. 7, 11 **24** Sap. 8, 16 **34-35** *ἐν πρώτῳ ... δευτέρας*, sic A, au lieu de: *ἐν δευτέρῳ τῆς ... πρώτης* **35** I Cor. 2, 19

Ε.Υ.Π.Π. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὑπερβαίνει. Ἔχει μέντοι ὁ ἄνθρωπος αὐτεξούσιον, δι' οὗ δύναιτ' ἂν ἐπιστραφῆναι πρὸς τὸν Θεόν, ὃς αὐτὸς ἐποίησεν ἂν μακάριον, εἰ καὶ μὴ ἀρχὴν ἔχει τινὰ φυσικὴν αὐτῆς, ὥσπερ καὶ ἐν τοῖς ἄλλοις ἀναγκαίοις ἔχει τὸν λόγον πρὸς εὕρεσιν τῶν τεχνητῶν βοηθημάτων ἀντὶ τῆς ἐνδείας τῶν φυσικῶν.

6. Ἕκτον, ὅτι ὁ ἄνθρωπος οὐ γίνεται μακάριος ὑψηλοτέρου τινὸς κτίσματος ἐνεργείᾳ, ἤγουν ἀγγέλου· ἐν γὰρ τοῖς Ψαλμοῖς λέγεται· „Ὁ Θεὸς χάριν καὶ δόξαν δώσει".

Ἔτι, τὸ ὑπερβαῖνον τὴν κτιστὴν φύσιν ἀδύνατον γενέσθαι δυνάμει τινὸς κτίσματος, ὡς ἡ τοῦ νεκροῦ ἀνάστασις καὶ ὁ τοῦ τυφλοῦ φωτισμός· βοηθεῖται μέντοι ὑπὸ τῶν ἀγγέλων ὁ ἄνθρωπος πρὸς τὸ τυχεῖν τῆς μακαριότητος κατά τινα προηγούμενα· αὐτοῦ δὲ τοῦ τέλους τυγχάνει διὰ τοῦ πρώτου ποιοῦντος, ὅπερ ἐστὶν ὁ Θεός.

7. Ἕβδομον, ὅτι τὰ τοῦ ἀνθρώπου ἔργα ζητοῦνται πρὸς τὸ τυχεῖν τῆς μακαριότητος ὑπὸ τοῦ Θεοῦ. Ἐν γὰρ τῷ τρισκαιδεκάτῳ τοῦ κατὰ
f. 88 Ἰωάννην λέγεται· „Εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε, | ἐὰν ποιῆτε αὐτά".

Ἔτι, μόνον τοῦ Θεοῦ ἐστιν ἴδιον τὸ ἐπὶ τὴν μακαριότητα μὴ κινεῖσθαι διά τινος προηγουμένης ἐνεργείας· οἱ δὲ ἄνθρωποι τυγχάνουσι ταύτης πολλῶν ἐνεργειῶν κινήσεσιν, αἳ πράξεις ἔμμισθοι λέγονται, οὐ διὰ τὸ τῆς θείας δυνάμεως ἐνδεές, ἀλλὰ ἵνα ἐν τοῖς πράγμασιν ἡ τάξις τηρῆται, ἵνα τῶν πεφυκότων ἔχειν τὸ ἀγαθὸν τὸ μὲν ἄνευ κινήσεως ἔχῃ, τὸ δὲ κινήσει μιᾷ, τὸ δὲ πλείοσιν.

8. Ὄγδοον, ὅτι πάντες ἐφίενται τῆς μακαριότητος κατὰ τὸν κοινὸν τῆς μακαριότητος λόγον· πάντες γὰρ ἐφίενται τοῦ τελείου ἀγαθοῦ, κατὰ δὲ τὸν εἰδικὸν οὐ πάντες· οὐ γὰρ ἴσασι πάντες τίνι ὁ τῆς κοινῆς μακαριότητος λόγος ἁρμόζει.

## Des actes humains.

### VI. — Περὶ τοῦ ἑκουσίου καὶ ἀκουσίου.

Ἑπομένως θεωρητέον ἐστὶ περὶ τῶν ἀνθρωπίνων ἐνεργειῶν, δι' ὧν τυγχάνομεν τῆς μακαριότητος· καὶ πρῶτον τῶν ἰδίων, εἶτα τῶν καὶ ἄλλοις κοινῶν, αἳ λέγονται πάθη ψυχῆς. Καὶ περὶ τὸ πρῶτον, πρῶτον, περὶ τοῦ ἑκουσίου καὶ ἀκουσίου καθόλου· δεύτερον, περὶ τῶν τοῦ ἑκουσίου ἐνεργειῶν.

1. Πρῶτον, ὅτι ἐν ταῖς ἀνθρωπίναις ἐνεργείαις ἐστὶ τὸ ἑκούσιον· πολλὰ γὰρ ἐνεργεῖ ὁ ἄνθρωπος ἔκ τινος ἐνδοτέρας ἀρχῆς καὶ ἕνεκα τέλους γινωσκομένου, ἥτις πρώτη ἐστὶν ἐν τῷ γένει τῆς κατ' ἔφεσιν κινήσεως, ἀλλ' οὐχ' ἁπλῶς· κινεῖται γὰρ καὶ ὑπό τινος ἔξωθεν καθ' ἕτερα εἴδη κινήσεως.

---

7 Ps. 83, 12 16 Ioh. 13, 17

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

2. Δεύτερον, ὅτι τὸ ἑκούσιον καὶ ἐν τοῖς ἀλόγοις ἐστίν, ὡς ὁ Φιλόσοφος φησὶν ἐν τρίτῳ τῶν ἠθικῶν, ὅτι τὰ παιδία καὶ τὰ ἄλογα ζῷα κοινωνοῦσι τῷ ἑκουσίῳ· τὸ δ' αὐτό φησι καὶ ὁ Δαμασκηνὸς καὶ ὁ Νύσσης Γρηγόριος· ἔχουσι γὰρ καὶ ταῦτα ἀρχὴν τῆς ἐνεργείας ἔνδον μετά τινος γνώσεως τοῦ τέλους, ἀτελοῦς μέντοι γε, ἐν μόνῃ δηλονότι τῇ τοῦ τέλους ἀντιλήψει συνεστηκυίας, ἄνευ τοῦ γινώσκειν τὸν λόγον τοῦ τέλους καὶ τὴν τῆς ἐνεργείας πρὸς τὸ τέλος ἀναλογίαν, εὑρισκομένῃ ἐν τοῖς ἀλόγοις δι' αἰσθήσεως καὶ ὑπολήψεως φυσικῆς· ὅθεν καὶ τὸ ἑκούσιον κατὰ τὸν ἀτελῆ λόγον ἔχουσιν· χωρὶς γὰρ τοῦ ψηφίσασθαι καὶ ἐπικυρῶσαι αἴφνης ἐπὶ τὸ τέλος χωροῦσι. | Θέλησις μέντοι γε ἤγουν λογικὴ ἔφεσις ἐν τοῖς ἀλόγοις οὐκ f. 88v ἔστιν, εἰ καὶ τὸ παρωνύμως θελητὸν εἴτουν ἑκούσιόν ἐστιν ἐν αὐτοῖς, ἢ μετέχουσι τῆς θελήσεως κατά τινα προσήκοντα τῇ θελήσει.

3. Τρίτον, ὅτι τὸ ἑκούσιον καὶ ἐνεργείας χωρὶς δύναται εἶναι, πλαγίως δηλονότι, ὥσπερ τὸ καταδῦναι τὴν ναῦν ἑκούσιον τῷ κυβερνήτῃ, ἐπειδὰν μὴ κυβερνώῃ, δυνάμενος καὶ ὀφείλων κυβερνᾶν.

4. Τέταρτον, ὅτι ἀδύνατον τῇ θελήσει βίαν ἐπενεχθῆναι. Διπλῆ γάρ ἐστι ἡ τῆς θελήσεως ἐνέργεια, ἄμεσος καὶ ἰδία, ὡς τὸ θέλειν· καὶ τῆς θελήσεως προσταττούσης, μεσιτευούσης ἄλλης δυνάμεως, ὡς τὸ βαδίζειν καὶ διαλέγεσθαι διὰ τῆς κινητικῆς δυνάμεως. Ἡ γοῦν δευτέρα βιάζεται, κωλυομένων ἔξωθεν τῶν μελῶν· ἡ δὲ πρώτη οὐδαμῶς, διότι τὸ ἠναγκασμένον, ἔκ τινος ἔξωθεν ἀρχῆς ὄν, ἐναντίον ἐστὶ τῷ ἑκουσίῳ, ἐκ τῆς ἔνδοθεν γινωσκούσης ὄντι ἀρχῆς, ὥσπερ ἀδύνατον τὸν λίθον ἅμα ἄνω φύσει καὶ κάτω φέρεσθαι κατὰ φύσιν. Οὐδ' εἰ κινοῖτο ἡ θέλησις ὑπὸ τοῦ Θεοῦ, βίᾳ κινεῖται· οὐδὲν γὰρ γίνεται τῇ θελήσει ἐναντίον, ὡς τό· „Καρδία βασιλέως ἐν χειρὶ Θεοῦ, καὶ ὅπου θέλει, κλίνει αὐτήν".

5. Πέμπτον, ὅτι ἡ βία τοῦ ἀκουσίου αἰτία· ὡς γὰρ τὸ παρὰ φύσιν ἐν τοῖς γνώσεως ἐστερημένοις αὕτη ποιεῖ, οὕτω καὶ ἐν τοῖς γινώσκουσι τὸ παρὰ τὴν θέλησιν, ὅ ἐστι τὸ ἀκούσιον.

6. Ἕκτον, ὅτι τὰ διὰ φόβον γινόμενα μᾶλλόν ἐστιν ἑκούσια ἢ ἀκούσια διὰ τοῦ Νύσσης Γρηγορίου καὶ τοῦ Φιλοσόφου· καὶ ἄλλως, τὰ διὰ φόβον καὶ βίαν γινόμενα οὐ μόνον κατὰ τὸ παρὸν διαφέρουσι καὶ τὸ μέλλον, ἀλλὰ καὶ ὅτι πρὸς μὲν τὸ βίᾳ ἡ θέλησις οὐδαμῶς συναινεῖ ἔνδοθεν· ἐν δὲ τῷ διὰ φόβον γινομένῳ ποιεῖ τι, αἱρουμένη αὐτὸ οὐ δι' αὐτό, ἀλλὰ πρὸς ἀπαλλαγὴν ἄλλου κακοῦ· ἑκούσιον δὲ καὶ τὸ τοιοῦτον, οὐ μόνον τὸ δι' ἑαυτὸ ἁπλῶς αἱρετόν.

7. Ἕβδομον, ὅτι ἡ ἐπιθυμία οὐκ ἔστιν αἰτία τοῦ ἀκουσίου, ἀλλὰ μᾶλλον συνεργεῖ πρὸς εἶναί τι ἑκούσιον ἢ ἀκούσιον.

8. Ὄγδοον, ὅτι ἡ ἄγνοιά ποτε ἐστὶν αἰτία τοῦ ἀκουσίου, τοῦ Δαμασ-

24 Prov. 21, 1

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

f. 89 κηνοῦ λέγοντος καὶ τοῦ Φιλοσόφου, ὅτι ἔστι τι | ἀκούσιον δι' ἄγνοιαν. Ἰστέον δὲ ὅτι ἡ ἄγνοια τριχῶς ἔχει πρὸς τὴν τῆς θελήσεως ἐνέργειαν· ἡνωμένως, ἑπομένως καὶ προηγουμένως· ἡνωμένως μέν, ὅταν ἄγνοια ᾖ τοῦ πραττομένου· εἰ μέντοι ἐγνωσμένον ἦν, οὐδὲν ἧττον ἐγένετο ἄν· τότε γὰρ ἡ ἄγνοια οὐκ ἐνάγει πρὸς τὸ θέλειν τοῦτο γενέσθαι, ἀλλ' ἅμα συμβαίνει εἶναί τι γεγονὸς καὶ ἠγνοημένον, ὥσπερ ὅταν τις βούληται ἐχθρὸν ἀποκτεῖναι, ἀγνοῶν δὲ τοῦτον ἀνέλοι, νομίζων ἔλαφον ἀνελεῖν, ἡ δὴ τοιαύτη ἄγνοια ἀκούσιον οὐ ποιεῖ· ἑπομένως δέ, καθόσον αὕτη ἡ ἄγνοιά ἐστιν ἑκούσιος, καὶ τοῦτο διχῶς κατὰ τοὺς προρρηθέντας δύο τοῦ ἑκουσίου τρόπους, ἕνα μὲν τρόπον, ὅταν ἡ τῆς θελήσεως ἐνέργεια φέρηται πρὸς τὴν ἄγνοιαν, ὥσπερ ὅταν τις βούληται ἀγνοεῖν ἢ διὰ τὸ ἔχειν ὑπὲρ τῆς ἁμαρτίας ἀπολογίαν, ἢ διὰ τὸ μὴ βούλεσθαι ἀποστῆναι τῆς ἁμαρτίας κατὰ τὸ κβ' τοῦ Ἰώβ· „Τὴν ἐπιστήμην τῶν ὁδῶν σου οὐ θέλομεν", καὶ αὕτη λέγεται κατὰ διάθεσιν ἄγνοια· ἕτερον δὲ τρόπον, ὅταν τις προσήκῃ τι γινώσκειν καὶ δύνηται· οὕτω γὰρ τὸ μὴ ποιεῖν καὶ μὴ θέλειν ἑκούσιον εἴρηται. Οὕτω τοίνυν ἡ ἄγνοια ἑκούσιος λέγεται, ἢ ὅταν τις ἐνεργείᾳ μὴ θεωρῇ ὃ δύναται θεωρεῖν καὶ ὀφείλει, ἥτις ἄγνοια ἐστὶ κακῆς αἱρέσεως ἐκ πάθους, ἤ τινος ἕξεως προϊοῦσα· ἢ ὅταν τις τὴν εἴδησιν, ἣν ἔχειν ὀφείλει, μὴ φροντίζῃ συνάγειν· προηγουμένως δὲ ἡ ἄγνοια πρὸς τὴν θέλησιν ἔχει, ὅταν οὐκ ᾖ μὲν ἑκούσιος, ἔστι μέντοι τοῦ θέλειν αἰτία ἄλλοτε τοῦ μὴ θέλειν, ὥσπερ ὅταν τις, ἀγνοῶν τινα περίστασιν ἐνεργείας, ἣν εἰδέναι οὐκ ὤφειλεν, ἐκ τούτου τι πραξείη ὅπερ εἰδὼς οὐκ ἂν ἔπραξεν, οἷον ὅταν τις ἐξακριβωσάμενος, ἀγνοῶν τινα τὴν ὁδὸν διϊέναι, ἀπορρίψῃ βέλος, δι' οὗ
f. 89v ἂν ἀποκτείνοι τὸν παριόντα. Ἡ τοιαύτη γοῦν ἄγνοια αἰτία | ἐστὶν ἁπλῶς τοῦ ἀκουσίου.

## VII. — Περὶ τῶν περιστάσεων τῶν ἀνθρωπίνων ἐνεργειῶν.

1. Καὶ πρῶτον, ὅτι ἡ περίστασις συμβεβηκός ἐστι τῇ ἀνθρωπίνῃ ἐνεργείᾳ· λέγεται γὰρ περίστασις ὅπερ ἔξω τῆς οὐσίας τινὸς ὄν, ἅπτεται τούτου ἐκ μεταφορᾶς τῶν τοπικῶν περιϊσταμένων.

2. Δεύτερον, ὅτι τὰς περιστάσεις τῶν ἀνθρωπίνων ἐνεργειῶν δεῖ θεωρεῖσθαι ὑπὸ τοῦ θεολόγου πρῶτον μὲν ἐν τῇ πρὸς τὸ τέλος τῶν ἀνθρωπίνων ἐνεργειῶν ἀναφορᾷ, πρὸς ὃ τάττονται κατά τινα συμμετρίαν εὐλόγως, ἢ γίνεται, φυλαττομένων αὐταῖς τῶν πρεπουσῶν περιστάσεων· δεύτερον, καὶ καθ' αὐτὰς τὰς ἐνεργείας, ὅτι ἄλλως οὐκ ἂν θεωρήσειεν ἐν αὐταῖς τὸ βέλτιον καὶ τὸ χεῖρον εἰ μὴ μετὰ τοῦ συνθεωρεῖν τὰς περιστάσεις, αἳ τὰς ἐνεργείας ποικίλλουσιν· τρίτον, ὅτι ἄλλως οὐκ ἂν δύναιτο θεωρεῖν αὐτὰς πότερον ἔμμισθοί εἰσιν, ἢ τοὐναντίον, εἰ μὴ εἰδείη τὰς περιστάσεις,

---

13 Iob, 21, 14

Ε.Υ.Δ τῆς Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006